163. CONCERNING THE COMING OF THE SON OF MAN (Matt-Lk Identicals
)

| Matt 24:29-31 | Luke 21:25-28 |
|---|---|
| *Εὐθέως δὲ μετὰ τὴν θλῖψιν* | |
| *τῶν ἡμερῶν ἐκείνων,* | |
| | *Καὶ ἔσονται σημεῖα* |
| *ὁ ἥλιος σκοτισθήσεται,* | *ἐν ἡλίῳ* |
| *καὶ ἡ σελήνη οὐ δώσει* | *καὶ σελήνῃ* |
| *τὸ φέγγος αὐτῆς,* | |
| *καὶ οἱ ἀστέρες πεσοῦνται* | *καὶ ἄστροις,* |
| *ἀπὸ τοῦ οὐρανοῦ,* | |
| | *καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ ἤχους θαλάσσης καὶ σάλου, 26 ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ,* |
| *καὶ αἱ δυνάμεις* | *αἱ γὰρ δυνάμεις* |
| *τῶν οὐρανῶν* | *τῶν οὐρανῶν* |
| *σαλευθήσονται.* | *σαλευθήσονται.* |
| *30 καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς* | |
| *καὶ ὄψονται* | *27 καὶ τότε ὄψονται* |
| *τὸν υἱὸν τοῦ ἀνθρώπου* | *τὸν υἱὸν τοῦ ἀνθρώπου* |
| *ἐρχόμενον ἐπὶ τῶν νεφελῶν* | *ἐρχόμενον ἐν νεφέλῃ* |
| *τοῦ οὐρανοῦ* | |
| *μετὰ δυνάμεως καὶ δόξης πολλῆς·* | *μετὰ δυνάμεως καὶ δόξης πολλῆς.* |
| *31 καὶ ἀποστελεῖ* | |
| *τοὺς ἀγγέλους αὐτοῦ* | |
| *μετὰ σάλπιγγος μεγάλης,* | |
| *καὶ ἐπισυνάξουσιν* | |
| *τοὺς ἐκλεκτοὺς αὐτοῦ* | |
| *ἐκ τῶν τεσσάρων ἀνέμων* | |
| *ἀπ ἄκρων οὐρανῶν* | |
| *ἕως τῶν ἄκρων αὐτῶν.* | |
| | *28 ἀρχομένων δὲ τούτων γίνεσθαι ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν.* |

150 total words with 40 identicals = 27%